Acad. Alb. Regim. 1881. II.

APOLLINARII

METAPHRASIS PSALMORUM VI—VIII

ab Arthuro Ludwich edita

qua

orationes

ad celebrandam memoriam virorum illustrium

Coelestini de Kowalewski — Jacobi Friderici a Rhod

Friderici a Groeben — Joh. Dieterici a Tettau

diebus XXI et XXIII Maji et XXIII Junii

h. s.

in auditorio maximo habendas

indicit

Ludovicus Friedlaender

P. P. O.

die XII Maji.

Typis academicis Dalkowskianis.

IV

Εὐδικίης ἐμέθεν θεὸς ἔκλυεν εὐξαμένοιο,
στεινομένῳ δ' εὔρυνε, θοῶς δ' ἀπάλαλκεν ἀνίην.
ἵλαθι καί μευ, ἄναξ, ἐπικέκλυθι εὐχωλάων.
ἀνέρες, ἐς τί τόσον τρέφετε βαρυπήμονα θυμόν;
ἐς τί φίλην ματίην καὶ ψεύδεα πάντα τίθεσθε;
ὡς δ' ὅσιον φράζεσθε, ἄναξ ὃν ἔφηνεν ἀγητόν·
αὐτὸς ἐπουράνιός μευ ἄναξ βοόωντος ἀκούσει.
μῆνις ἀτασθαλίης προφερεστέρη ὔμμι τετύχθω·
φράζεσθ' ἐν λεχέεσσι φίλου μελεδήματα θυμοῦ.
ἐλπὶς ὁμοῦ καὶ θῦμα δίκης βασιλῆα γεραίροι
πολλοί φασι· τίς ἄμμι φερέσβιον ὄλβον ὀρέξει;
ἄμμι τεῆς τέκμαρ χρύσεον σέο φέγγος ὀπωπῆς·
εὐφροσύνην κραδίῃ δωρήσαο πᾶσαν ἐμεῖο·
ἐκ σίτου γλυκεροῖο καὶ ἐκ λαθικηδέος οἴνου
ἔκ τε φερεζώοιο βίης ἔπλησθεν ἐλαίου.
εἷς ἓν ἐν εἰρήνῃ καταλέξομαι ὕπνον ἀμέλγων,
οὕνεκεν ἐλπωρῇ με μάκαρ καὶ μοῦνον ἐρείδεις.

IV Argumentum *Τέρατος* (*τέταρτος M* et *L*, in quo m. 2 *τρα* superscr.) *ἐκ μελέων Δαυίδου* (*Δαβίδου a*) *ψαλμὸς ἐτύχθη C D L M O V*. — vs. 1 *εὐδικίης L c b² c²* (et *Q*), *εὐθυδικίης O*, *εὐδοκίης C D M a b*, *ἴσως ʽεὐδικίηςʼ a²*. — *εὐξαμένω O*. — 2 *κτεινομένῳ* (*κ* minio pictum) *O*, *στεινωμένῳ D*, *στεινόμενον* coni. Ritter p. 28. — *ἐπέκλυε* omnes libri (cf. vers. 1 et 3), *ἐπέλυσε* Ritter l. l., *ἐπλάτυνε* Koechly apud Ritterum l. l.; correxi *εὔρυνε* coll. 17,80 *σὺ δ' ἐμὲς εὔρυνας ἀταρπούς* et 117,10 *ἐκ δ' ἀγαγὼν κακότητος ἐμὰς εὔρυνε κελεύθους* cum versione LXX. aliis fortasse *ἐπάκουσε* praeferendum videbitur. — *ἀπάλαλχ' O*. — 3 *ἐπικέκλυθι εὐχωλάων V*, *ἐπίκλυθι εὐχωλάων C D L M O*, numeris supra scriptis *εὐχωλάων ἐπίκλυθι* correxit *L²*. — 4 *τρέφετε*] postremae syllabae productio fortasse defenditur hoc loco: *ἐν σκέπαϊ βασιλῆος ἐπουρανίοιο διάξει* 90, 2 (v. Ritter p. 29). — 5 *τίθεσθε*] ultima littera ex *αι* corr. *O*, *τίθεσθαι D*. — 6 *ὡς* m. 2 ex *πῶς* corr. *L*, *πῶς* cetori. — *ὃν ἔφηνεν V*, *ἐνέφηνεν L*, *ἔφηνεν* vel *ἔφηνεν C D O M*. — 7 *ἐπ' οὐράνιος L*, *ἐπουράνιός O*. — *βοόωντος V*, *ἐνέφηνεν* (ex praecedente versu) *L*, *βοόωντος* in marg. *L²*, *φωνῆς C D M*. — *ἀκούσει O*, *ἀκούσοι L V*, *ἐπακούσοι C D M*. — 8 *προφερέστερη L*. — *ὔμμι O* et *L*, sed in hoc codice totum vocabulum est in ras. et ex corr. m 2, *ὕθλη C D M*. — 9 *φράζεσθε ἐν O*. — 10 *γεραίρει O*. — 11 *πολλοὶ φασὶ L O V*. — *ὄλβον M*. — 12 *τεῆς τέκμαρ L*, *τε* (*τὲ M*) *τέκμαρ C D M*, *τε τέκμαρτο O*, *τε* (*τὲ a*) *τέκμαρ τὸ V*, *τεκμαίροιτο* coni. Ritter p. 11. — *ὀπωπῆς M*. — 13 *κραδίην D M*. — *δωρήσαο O V*, *δωρήσω C D L*, *δωρήσῳ M*. — *ἐμοῖο O*. — 15 *φερεζώοιο* om. in lacuna *D*, *φερώοιο* cum signo corruptelae *C M*. — *ἔπλησθεν O* (Mommsen l. l. p. 54), *ἔπλησεν C D M V*, *ἐμπλησεν* (*εν* ex *ας* correctum videtur) *L*. — 16 *εἷς ἓν ἐν* aegre retinui ex *V* (v. Mommsen l. l.), *εἰς ἓν* (*ἐν* om.) *C D M*, *εἰς ὃν ἐν L*, *εἷς ἓν* in marg. *L²*, *οἷς ἐν O*. fort. *αἰὲν ἐν* corrigendum. cf. 18, 19 *ἔγνων εὐδικίας παναληθέας αἰὲν* (LXX *ἐπὶ τὸ αὐτὸ*) *ἄνακτος*. — 17 *οὕνεκεν* restitui. *οὕνεκα L*, *οὕνεκ M*, *οὕνεκ' C D O*, *οὕνεκ' ἐπ' V*. — *μούνον O*. — *ἐρείδει C M*.

V

Μύθων ἡμετέρων παννυπέρτατε κέκλυθι ποιμήν,
αὐδῆς μευ ξύνες ὦκα, ἀρὴν δ' ἐπιδέρκεο φωνῆς,
αὐτὸς ἄναξ, θεὸς αὐτός· ἐγὼ δέ σε λίσσομαι αἰεί.
ἡμετέρης ἠῶθεν, ἄναξ, ἐσακούσεαι αὐδῆς·
ἐξ ἠοῦς ἀναφανδὰ παρεσσομένῳ προφανείης,
οὕνεκεν ἀμπλακίην ἐθέλων θεὸς οὔ ποτ' ἐτύχθης
οὐδέ τις ἐνναέτης παρὰ σοὶ κακομήχανος ἔσται
οὐδὲ τεῆς ἀθέμιστος ὁμέστιος ἔσσετ' ὀπωπῆς.
ἐργατίνας ἔστυξας ἀλιτροσύνης ἅμα πάντας,
γλώσσης ψευδαλέης ὀλετὴρ ἐν πᾶσιν ἐτύχθης·
ἐχθαίρει δολόεντα καὶ ἀνδροφόνον θεὸς ἄνδρα.
αὐτὰρ ἐγὼ σέο δῶμα τεῷ μετελεύσομαι οἴκτῳ,
δειμαλέος δὲ σέθεν καθαρὸν προσπτύξομαι ἱρόν.
ἡγήσαιό με σεῖο δικαιοσύνῃ χάριν ἐχθρῶν,
ἡμετέρην δ' ἴθυνον ἐπ' ὄμμασι σοῖσιν ἀταρπόν.
οὐ γὰρ ἀληθείην ποτ' ἐπὶ στόματος φορέουσι·
τῶν δὲ βαρύζηλοι κραδίαι γεγάασι μάταιαι,
λαυκανίη δ' οἰχθέντι τάφῳ πανομοιιός ἐστι
καὶ γλῶσσαι δολεροῖσιν ἀεὶ μεμελήατο μύθοις.
κρῖνον, ἄναξ· βουλέων δὲ κακῶν ἄπο πάγχυ πέσοιεν
ἠδὲ κατὰ πληθὺν σφετέρων χάριν ἀμπλακιάων
κτήσιος ἐξελάοιντο τεὴν ἐρέθοντες ἐρωήν.
σοὶ μὲν ἐπευχόμενοι, βασιλεῦ, κεχαροίατο πάντες.
κεῖνοι μὲν κεχάροιντο, σὺ δ' οἰκήσειας ἐν αὐτοῖς.

V Argumentum *Κλῆρον λαβούσης* (sic *V*, *τῆς κληρονομούσης C D M L*, *τῆς* delevit *L*², *τῆς κληρονομοσύνης* sic *O*) *πέμπτον* (*πέπτον C*) *εἰς τέλος μέλος* | *Δαυῖδος* (sic *O M b c*, *Δαυίδος D L O*, *Δαβῖδος a*) *ἠλάλαξεν εὐφήμῳ βοῇ C D L M O V*. — vs. 1 *ποιμέν V*, *ποιμήν*. *ποιμάν* sic *b*² c². — 2 *μευ*] m. rec. corr. *μεῦ O*. — *ξύνες ὦ* (pro *ξύνες ὦκα*) *C D M*, in marg. *ὦκα M*, *ξύν' ὦ L*, supra *ὦ* adscripsit *κα L*². — *ἀρήν δ' L M*, *ἀρὴν δὲ* sic *O*. — *ἐπικέρδεο L*. — 3 *θεὸς αὐτός*] *αὐτὸς θεὸς L*, quod numeris supra positis correxit *L*². — *ἐγώ δέ L*, *ἐγὼ δὲ M*. — 4 *ἠοῖθεν D*, *ἠῶθεν L*. *ἐσακούσεαι L*, *εἰσακούσεαι C D M*, *ἐσακούσεται O* (qui hunc versum in textu omissum infra in margine adscripsit), *ἐπακούσεται V*. — 5 *ἠοὺς D*, *ἠοὺς L*, *ἠοῦς* corr. *L*². — *ἀναφανδά L*. — *παρεσομένω* (*-νῳ*) *C D M*. — 6 *οὕνεκεν C D M*, *οὕνεκ'* (m. rec. corr. *οὕνεκα*) *O*. — 8 *οὐδε O*. — *ἀθέμιτος* ex *-μητος* corr. *O*. — *ὅσσετ'* ex *ἔσσετ'* corr. *C*, *ὅσσετ' M*. — 9 *ἐργάτινας L*. — *ἀλιτροσύνης D L*. — 10 *γλώττης L*. — 11 *ἐχθαίροι a b*. — *ἀνδρὸν* (ex *-ῶν* corr.) *φόνον D*. — 12 *οἴκτῳ*] *ι* om. in ras. *O*. — 13 *δειμαλέως C D L M*. — *καθαρῶν* (ex *-ὸν* corr. *O*) et *ἱρῶν C M*. — *προσπτύξομαι L*. — 14 *σεῖο με ἡγήσαιο C D L M O* (*ἡγήσαιτο* corr. *L*²), *σεῖό* (*σεῖο a*) *με ἡγήσαιτο V*. quod correxi. — *δικαιοσύνην O*, *-νῃ* ceteri. — 15 *ἡμετέρην* (*-ην* ex *-ον* corr. *L*²) *L O V*, *ἡμέτερον C D M*, *γρ. ἡμετέρην* in marg. *M*. — *δ'* habet *L*, om. ceteri. — 16 *ποτ'*] *ποτὲ O*. — *φορέουσιν*, sed *ν* postea deletum, *D*. — 17 *τῶν* [illegible] *L O V*. — *βαρύζηλοι O V*, *-λαι C D L M*. — 18 *λαυκανίης C D L M*, *η* superscripsit *L*², *λευκανίη* ex *λαυκανίη* minio correctum *O*. — *πανομοίιος ἐστὶ O*, *παρομοιΐος ἐστὶ D L M*, *παρομοιΐός ἐστι C V*. — 19 *γλῶσσαι*] acutum et *αις* superscripsit *L*², *γλώσσαις* sic *O*, *γλώσσαις* in marg. *M*. — *δολεροῖσιν O*. — *μύθοις O V*, *μόχθοις C D L*, *μύθοις* superscr. *L*², *μόχθμοις* sic *M*, *γρ. μῦθος* in marg. *M*. — 20 *ἀπὸ* omnes. — *πεσοίησαν O*. — 21 *ἠδὲ C D M*, *εὖ δὲ L*, *ἐν δὲ O*, *καί κε V*. — *πληθὴν D*. — 22 *ἐξελάοιντο*] *αλέ* superscr. *L*², *ἐξαλέοιντο O*. — *ἐρέθοντο*

σοὶ δ' ἀγαπαζόμενοι τεὸν οὔνομα καυχήσονται,
ὅττι δικαιοσύνης ὑποφήτορα φῶτα γεραίρεις.
ἡμέας ἐστεφάνωσας ἅτ' εὐδοκίης κλυτῷ ὅπλῳ.

VI

Μή με τεὸς βαρύμηνις, ἀκήρατε, θυμὸς ἐλέγξῃ,
μηδέ με παιδεύσειε τεὴ πολυώδυνος ὀργή,
ἀλλ' ὀλιγηπελίην, βασιλεῦ, ἐλέησον ἐμεῖο.
ἔσσο μοι ἰητήρ, ταράχου δέ μευ ὀστέα παῦσον
καὶ ψυχήν, ἣ πολλὸν ἀτυζομένη δεδόνηται.
καὶ σύ, μάκαρ, κοτέων εἴως πότε μῆνιν ἀέξεις;
λῦσον ἐμόν, μεταθεὶς πρότερον κότον, ἦτορ ἀνάγκης·
ῥύεο, παμβασιλεῦ, μ' ἐλεητύος εἵνεκα σεῖο.
τίς γ', ὅς ἐπιμνήσαιτο σέθεν θανάτοιο πεδηθείς;
τίς δέ τοι εἰν ἀΐδαο βοὴν εὔφημον ἀῦσαι;
ἔμπα γε μὴν ἐμόγησα περὶ στοναχῇσιν ἐμῇσιν,
αἰεί μευ κατὰ νύκτα σαόφρονα λέκτρα λοέσσω,
δάκρυσιν ἡμετέροισιν ἐννέα δέμνια τέγξω.
μῆνις ἐπιβρίσασα ἐμὴν κλονέεσκεν ὀπωπήν,
γηραλέος γενόμην μετὰ δυσμενέεσσιν ἐμοῖσιν.
ἐργατίναι χάζεσθε ἀτασθαλίης ἀλεγεινῆς,
οὕνεκά μευ κλαυθμοῖο βοῆς ἐμὸς ἔκλυεν ἐοσήν·
αὐδῆς ἡμετέρης θεὸς ἔκλυεν εὐχωλάων,
νωιτέρην ὑπέδεκτο θεὸς πανυπέρτατος εὐχήν.
αἶσχος δυσμενέεσσιν ἐμοῖς τάραχός τε τετύχθω,
ὦκα μάλ' αἰσχύνοιντο μεταστρεφθέντες ὀπίσσω.

O. — 23 πάντα L, ες superscr. L². — 24 κεῖνοι] κοῖνοι sic L. — σὺ δ' O. — 25 οἱ omnes, σοὶ superscr. L². — ὄνομα C D O. — 26 ὅτι O. — γεραίροις V. — 27 ἅτ'] ἅτε C D M. — εὐδοκίης O V, εὐδικίης C D L M, γρ. εὐδοκίης in marg. M. — κλυτῷ ὅπλῳ (ῷ et ὅπλῳ ex corr. m. 2) L, κλυτὸν ὅπλον ceteri.

VI Argumentum Ἕκτον ἄναξ μελέεσσι (alterum σ in L m. 2 superscr.) φίλοις (φίλοισι a) Δαυίδος (Δαβίδος a, Δαυίδου C D M et L, sed ος superscr. L²) ἄεισε | μείλιχον (μειλίχιον O) ὀγδοάτης ἀμφὶ μέλος (μέσον O) λιγυρόν C D L M O V. codicem C cum D prorsus consentientem infra neglegere satius duxi. — vs. 1 ἀκήρατος D L M O. — 2 μὴ δέ D L M, μήτε O. — με om. O. — τεὴ] η e corr. m. 2 L. — 4 μοι] οι in ras. corr. m. 2 L. — ἦτορ D. — 5 ἡ pro ἥ D. — πεφόρηται D M et L, δεδόνηται in marg. L². — 6 ἕως O. — 7 ὗσον (λ rubricator om.) O. — κόπον O. — ἦτορ om. O. — 8 ῥύσεο παμβασιλεῦ O V, ῥύσεο βασιλεῦ L, ῥύεο παμβα in marg. L², ῥύσεό μευ βασιλεῦ M. — μ' praeter L omnes om. — 9 τίς γ' ὅς in marg. L², τίς ὅς O, τίς γὰρ D M V, τὶς γὰρ L. — θανάτῳ M, ἴσως λείπει γε in marg. M. — παιδηθείς O. — 10 τὶς L. — ἀῦσαι D L M, ἀείσει O, ἀείσαι V. — 11 ἐμῇσι D M. — 12 λέκτρα] ρ ab al. m. inser. M. — λοέσσω O, λόεσω L, ceteri λοεύσω. — 13 ἡμετέροισι D. — ἐνέα D M. — 14 ἐπιβρύσασα L. — 17 οὔνεκά D M. — ἐμὸς om. D M O. — ἔκλυεν] εν in ras. corr. m. 2 L. — ἐοσήν]
ἣν
alterum σ m. 2 superscr. L, ἐοὶν D, ἐοσιν M. — 18 ἡμετέρης M O et e corr. L², ἡμετέρων L V, -ων ex -ης corr. D. — θεὸς om. D. — εὐχολάων O. — 20 τάραχος (τε om.) O. — τετύχθῳ M. — 21 ὀπίσσῳ M.

VII

Θάρσυνος ἐλπωρῇ, βασιλεῦ, σέο πάντοτ' ἐτύχθην·
ἐκ πάντων, λίτομαί σε, διωκόντων με σαώσοις,
μή ποτ' ἀφαρπάξειε λέων ἐμὸν οἷά τις ἦτορ,
πάμπαν κηδεμονῆος ἀμύντορος οὐ παρεόντος.
ἀλλ' εἰ τοῖον ἔρεξα, τόπερ σέο μῆνιν ἐγείρει,
ἔργμασιν εἰ στυγεροῖσι φέρω κατὰ χεῖρας ἀθέσμους
ἤ τι κακῶν ῥεκτῆρα κακῶς ἔπρηξα καὶ αὐτός,
δυσμενέων ἄπρηκτος ἐμῶν ἄπο πάγχυ πέσοιμι
καί μεν ἕλοι ψυχὴν ἐλόων καταδήιος ἀνὴρ
καί μεν ἐπιστείβοι βίοτον χθονὶ ποσσὶν ἑοῖσι
καὶ κλέος ἀμφιβόητον ἐμὸν κονίησι μιήνοι.
ἀλλὰ κοτεσσάμενος βριαρῶν ἀνεγείρεο θώκων
καί μεν ἐν οὐλομένων ἐπαείρεο πείρασιν ἐχθρῶν·
σῇσιν ἐφημοσύνῃσιν ἀνέγρεο κάρτος ὀπάζων,
πᾶσα δὲ κυκλώσειεν ὁμήγυρις ἀμφί σε λαῶν,
ἧς, μάκαρ, ἡγήσαιο μετήορος ὑψόσ' ἀερθείς.
αὐτὸς ἄναξ λαοῖσι δικασπόλος ἔσσεται αἰεί·
εὐδικίης κατὰ θεσμὸν ἐμῆς, βασιλεῦ, με δικάζοις
καὶ φρενὸς ἡμετέρης ἀγαθῆς ἐπιείκελα τεύχοις.
ἀμπλακίης τέλος ἔστω, ἐπιθύνοις δὲ δίκαιον·
νεφροὺς καὶ κρύφια κραδίης μυχὰ μοῦνος ἐλέγχοις
ὡς ὁσίῳ μοι ἄναξ ἐπαρηγόνα χεῖρα φυλάσσοι

VII Argumentum *Χουσὶ πάρος Δαυίδου* (*Δαβίδου* a, *δαδ* O, *δαυίδον* L, sed paenultima littera e corr. m. 2, *δαυίδην* D, *δαυίδου* M) *ἐφύβρισεν, αὐτὰρ ὃ* (*ὁ* omnes praeter L a b) *μεμφθεὶς* (*μεμφεὶς* L) | *ποιμένι τιμήεντι φίλους παρακάτθετο* (ex *παρακατέθετο* corr. L^2) *μύθους.* | *ἔμπα γε μὴν βασιλῆος ὅδ' ἦν πάρος* (sic O et idem restituit L^2 ex *ὅδ' αὖ*, quod L habebat, *ὁ δ' ἦν* D M, *ὅδ' ἔπλετο* V) *ἕβδομος* (*εὐδομος* O) *ὕμνος* omnes. — vs. 1 *θάρσυνος*] *θ* om. O. — 2 *λίττομαι* D O, alterum *τ* erasum L, *λίττομαὶ* sic M. — *σαώσεις* D M. — 3 *ἐφαρπάξειε* O V, *ἀφαρπάσειε* D M, quod etiam L habebat, *ἀφαρπάξειας* corr. L^2. — *ἐμὸν οἷά τις* V, *ἐμὸν οἷα τίς* O, *οἷα τις ἐμὸν* D L, *οἷα τίς ἐμὸν* M. — 4 *πάμπαν κηδεμονῆος* (*κηδιμονῆος* c^2) *ἀμύντορος* V^2, *κηδεμονῆος ἀ* sic L^2 in marg., *πάμπαν κηδεμονῆος καὶ ἀμύντορος* O, *πάμπαν ἀλάλκοντος καὶ ἀμύντορος* L V. — 5 *ἔλεξα* D M. — *τό, περ* M. — *ἀγείρει* O. — 6 *ἔργμασιν*] *γ* rubricator inser. O, *ἔργμασιν* ex *ἔργμασιν* corr. L^2. — *στυγερῆσι* O, *στυγερῆσι* L, *οῖ* superscr. L^2. — *μετὰ* D M et L, sed *κατὰ* superscr. L^2. — 7 *ἦ τι* D, *ἤ τι* M, *ἤ τοι* L O, *εἴ γε* V. — *ἔπρηξα* O V, *ἔρεξα* L, *ῥέξα* D M, *ἔρξα* in marg. D. — 8 *ἄπο* L V, *ἀπο* D, *ἀπὸ* M O. — *πέποιμι* M, al. m. *σοι* superscr. — 9 *ἕλη* O. — *ἑλόων* O. — *καταδήϊος* D L M O, *κατὰ δήϊος* a c, *μετὰ δήϊος* b. — 10 *ἐπιστείβοι* V, *ἐπιστείβει* D L M. — *βίοτον* L. *ποσσὶ* D. — *ἑοῖσιν* D M. — pro hoc versu in O est *καὶ βίοτον καταπάμπαν ἐμὸν ζωήν τε πατήσοι.* — 11 *κονίησι μιήνοι* L, sed *μιήνοι* e corr. m. 2 (post *κονίησι* rasura), *κονίησι* (*κονιῆσι* a) *μιήνοι* V, *κονίησι μιήνη* O, *κονίησι μιγείη* D M. — 12 *ἀναγειρε* sic O. — 13 *ἐν* om. omnes, inser. Ritter p. 16. — *οἰχομένων* L, *ουλο* superscr. — *ἐπαείραο* omnes, sed *εο* superscr. L^2. — 14 *ὀπάζων* ex *ὀπάζων* corr. L. — 16 *ἧς* ab L omissum add. L^2. — *μετήορος* c. — 17 *δικασπόλο* O. — *ἔσσεται* O, ceteri *ἔσσεαι*, sed *τ* inser. L^2. — *ἀεὶ* L, *ἀεί* O. — 18 *θεσμὸν* O V, *θυμὸν* D L M, *εσ* superscr. L^2. — 19 *ἡμετέροις ἀγαθοῖς* L. — *ἐπιείκελα* V, *ἐπϊείκελα* O, *ἐπιείκεοι* D M, *ἐπιεικέσι* L, *είκελα* superscr. L^2. — 20 *ἀμπλακίη* D M et L, sed *ς* add. L^2. — *ἐπιθύνοις* O V, *ἐπιθύνης* L, *ἐπιθύνεις* D M. — 21 *ἐλέγχεις* sic O. — 22 *ὁσίω* (*ν* eras.) O, ceteri *ὁσίην*, sed *ων* superscr. L^2. — *φυλάσσοι* O, *φυλάσσει* D L M, *οι*

πάντοτε ῥυόμενος μερόπων ἰθύφρονα φῦλα.
αἰὲν ἄναξ ὅσιός τε Θεμιστοπόλος τε περίφρων
καὶ σθένεϊ κρατερὸς καὶ ἀνεξίκακον λάχε θυμὸν
οὐ δεδαὼς τρηχεῖαν ἑκάστοτε μῆνιν ἐγείρειν
παύσασθε, πρὶν ἄορ ταναὸν θήγοιτο φαεινὸν
καὶ τόξον τανύσειεν· ἑτοιμότατον γὰρ ἐτύχθη·
ὅπλα γὰρ οὐλομένου θανάτου τέκτηνεν ἐπ' αὐτῷ,
τοῖσι δὲ καρφομένοις εἰργάσσατο πικρὰ βέλεμνα.
δέρκεο νῦν ὠδῖνος ἑῆς ἀθεμίστιον ἔργον·
κύσσατο μὲν μόχθον, τέκε δ' ἀμπλακίην ἀλεγεινήν·
χάσμα μέγ' ἐξώρυξε, κακῇ δ' ἔσκαψε μενοινῇ,
ἀλλ' εἰς ὅνπερ ἔτευξε πέσοι κακοεργέα βόθρον,
κὰκ κεφαλῆς οἱ ἄλγος ἐπιστρέψειεν ἑτοῖμον
καί οἱ ὑπὲρ κορυφῆς ἐπιβήσεται ὕβρις ἀεικής.
εὐδικίης βασιλῆος ἐπάξιον αἶνον ἀείσω,
οὔνομα δ' ὑψίστου λιγυρῇ φόρμιγγι βοήσω.

VIII

Ἄφθιτε νωιτέρης βιοτῆς οὔηκα φυλάσσων,
ὡς ἄρα τοι θηητὸν ἐπὶ χθονὸς οὔνομ' ἐτύχθη·
καί τοι ἀριπρεπὲς εὖχος ὑπέρδραμεν οὐρανὸν αὐτὸν
ἐκ στόματος βρεφέων, ὅθεν ἤνυσας αἶνον ἑτοῖμον
πευκεδανῶν, ἄχραντε πάτερ, σέθεν εἵνεκεν ἐχθρῶν,
ὄφρα κεν ἐχθρὸν ὁμοῦ καθέλοις καὶ ἀμύντορα λύσσης.
ὄψομαι οὐρανὸν εὐρύν, ὃν ἥδρασε δάκτυλα σεῖο,
ἄστρα τε καὶ μήνην, οἷς πυθμένα θήκαο χειρί.
τίς γὰρ ἔην ἄνθρωπος, ἐπεὶ μιμνήσκεαι αὐτοῦ,
ἢ πάις ἀνθρώπου, ὅτι οἱ καὶ ἐπίσκοπός ἐσσι;

---

superscr. *L*², *φυλάσσῃς V*. — 23 *ῥύμενος M*. — *ἰθυόφρονα O*. — 24 *Θεμιστοπόλος τε L M a*. — 25 *σθένει L*. — *καρτερὸς O*. — 25 *ἀνεξίκακον M V*, *ἀλεξίκακον D L*, *ἀλεξίκακος O*. — 26 *ἐκκάστοτε τρηχεῖαν* (litterae *η* superscr. *α D*), *ἑκάστοτε τραχεῖαν M*. — 27 *φαεινὸν M V*, *φαεῖνον L*, *φαῖνον D*, *φαείνων O*. — 28 *ἑτοιμότατον V*, *ἑτιμότατον D*, *ἑτυμότατον L M* (*ἑ* ex *ἑ* corr. *L*). — 29 *ἐλομένου L*, *οὐ* superscr. *L*². — *τέκτηνεν V*. — *ἐπ'*] *ἐν O*. — *αὐτῷ O V*, *αὐτὸν D L M*. — 30 *τοῖσι δὲ V* et ex corr. *L*², *ἡ δὲ O*, *εἰο γὰρ D L*, *εἷο γὰρ M*. — *εἰργάσατο* omnes. — 31 *ἑῆς* ex *ἑῆς* corr. *L*, *ἑῆς M*. — 32 *κύσσατο D L*, *μύσσατο* (*μ* rubricator pinxit) *O*, *κύσατο V*. — 33 *ἐξόρυξε D M*. — 34 *ἔτεξε O*. — *κακουργέα O*. — *μόχθον* pro *βόθρον D M*. — 35 *κὰκ a b*. —*ἐπιστρέψοιεν L*. — 36 *ὑπερβήσεται L M*. — *ἀεικῆς O*. — 37 *εὐδοκίης D M* et habebat *L*, quod corr. *L*². — *ἀείσῳ M*. — 38 *οὔνομα M*. — [illegible]*στον O*.

VIII Argumentum *Δαυίδου* (sic *b c*, *δαβίδου O a*, *δαυίδος L*, *υ* ex *ς* corr. *L*², *δαυῖδος D M*) *ληναίοις ὠδ'* (*ὁ δ' c*) *ὄγδοος* (*ἔγδοος M*) *ὕμνος ἐτύχθη* omnes. — vs. 2 *ἀρά a*. — *θητητὸν O*. — 3 *ὑπέρδραμεν* ego, *ὑπέδραμεν D L M O V*, *ἑ* supra *ἑ* adscripsit *L*². — pro *αὐτόν·* restitui *αὐτὸν* sine interpunctione. — 5 *σέθεν πάτερ O*. — *εἵνεκεν D M*. — 6 *ὄφρά a*. — *ἀμύντορα λύσσης D L M O V*, *ἀμύντορ' ὀλέσσοις b² c²*. — 7 *εὐρὺν L M*. — *ἥδρασε M O V*, *ἤδρασε D*, *ἔδρασε L*. — 8 *τε L O a*. — *μήνην*] accent. eras. *L*. — 9 *μιμνήσκεαι*] *αι* ex corr. *L*². — 10 *παῖς M*. — *ὅτι O*. —

μείονά μιν ποίησας ἐπουρανίων στρατιάων
ἀμφιπεριστέψας καὶ κύδεϊ καὶ γεράεσσιν,
ἔργα τεῶν ἔστησας ἐπιθύνειν παλαμάων·
πάντα δέ οἱ θαλεροῖσιν, ἄναξ, ὑπεθήκαο ποσσίν,
ἀγρονόμους τε βόας καὶ εἰροπόκων γένος οἰῶν
ὅσσα τε καρποτόκον πεδίον καταβόσκεται ἄλλα
αἰθέριά τε πετεινὰ καὶ ἰχθυόεντα γένεθλα
ὁππόσα ποντοπόρους παρεπιστείβουσι κελεύθους.
ἄφθιτε νωιτέρης βιοτῆς οἴηκα φυλάσσων,
ὡς ἄρα τοι θηητὸν ἐπὶ χθονὸς οὔνομ' ἐτύχθη.

ἐπίσκοπος ἐσσὶ vel *ἐσσὶ D L M V*, *ἐπίσκοπός ἐσσι* sic *O*. — 11 *ποίησας* ex *ποιήσας* corr. *L*, *ποιήσαο O*. — *ἐπ' οὐρανίων D M*. — 12 *ἀμφιπεριστέψας*] supra *φι* syllabam accentum gravem rubricator adscripsit *O*, *ἄμφι περιστέψας M*, *ἀμφιπεριστρέψας D*. — praeter *V* omnes *κύδει*. — *γεράεσσιν*] alterum *σ* superscr. *L*[2], *γεράεσσι D M*, *γηράεσσιν O*. — 14 *δὲ οἱ D L M*. — 14 *ποσίν* vel *ποσὶν D L O*. — 15 *τὲ D L O a*. — *οἰῶν* ex *οἴων* corr. *L*. — 16 *τὲ L O a*. — 17 *αἰθέρια*] *ερ* in ras. *M*, *αἴθριά O*. — *πετεεινὰ D*, *πετεηνὰ O*. — 18 *ὀππότα D*, *ὀππότε* et in marg. *γρ. ὀππόσα M*. — 19 *βιοτῆς D L M* (cf. vs. 1), *γενεῆς O V*. — 20 *ἄρά a*. — *θνητὸν L*.

In adnotatione ad II 18 legendum: ʻhunc quoque versum (quem om. *O*) dubitanter correxiʼ.